# Tabelle 1: Editionsvergleich zu Plutarchs Themistoklesvita

## Catherine Lang

| Autor (alphabetisch) | Zeit des Autors | Belegstellenangabe Teubner | Belegstelle (Stephanus-Zählung) | Zitat/ Paraphrase (+/-) | Kategorie |
|---|---|---|---|---|---|
| Aischylos | 5. Jh. v. Chr. | Plut. Th. 14.1<br>Ξέρξῃ δέ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν ὧν ἦγε πλῆθος: αἱ δ' ὑπέρκοποι τάχει ἑκατὸν δὶς ἦσαν ἑπτά θ'<br><br>Persae, ed. G. Murray, Aeschyli tragoediae, 2nd edn. Oxford: Clarendon Press, 1955 (repr. 1960): 53–95. (Cod: 5,647: Trag.) 341–125 to 343–125<br>Ξέρξῃ δέ, καὶ γὰρ οἶσθα, χιλιὰς μὲν ἦν ὧν ἦγε πλῆθος, αἱ δ' ὑπέρκοποι τάχει ἑκατὸν δὶς ἦσαν ἑπτά θ': | 119b | + | Militärische Leistung |
| Ariston | 3. Jh. v. Chr. | Plut. Them.3.2..<br>καίτοι δοκεῖ παντάπασιν ἡ πρὸς τοῦτον ἔχθρα μειρακιώδη λαβεῖν ἀρχήν: ἠράσθησαν γὰρ ἀμφότεροι τοῦ καλοῦ Στησίλεω, Κείου τὸ γένος ὄντος, ὡς Ἀρίστων ὁ φιλόσοφος<br><br>Fragmenta, ed. F. Wehrli, Lykon und Ariston von Keos 32–44. Scripta: frr. 9, 11. /19,7/1 to ///19,7/4<br>καίτοι δοκεῖ παντάπασιν ἡ πρὸς τοῦτον ἔχθρα (sc. ἠράσθησαν γὰρ ἀμφότεροι τοῦ καλοῦ Στησίλεω Κείου τὸ γένος ὄντος, ὡς Ἀρίστων ὁ φιλόσοφος ἱστόρηκεν. | 113a | + | Politik |
| Ariston | | Plut. Th. 6.4.–6.5.<br>Θε μιστοκλέους γὰρ εἰπόντος καὶ τοῦτον εἰς τοὺς ἀτίμους καὶ παῖδας αὐτοῦ καὶ γένος ἐνέγραψαν, ὅτι τὸν ἐκ Μήδων | 114e-114f | | Redewendung |

| | | | | | |
|---|---|---|---|---|---|
| | | χρυσὸν εἰς τοὺς Ἕλληνας ἐκόμισε.<br><br>1.) Πρὸς Πλάτωνα ὑπὲρ τῶν τεττάρων, ed. W. Dindorf, Aristides, vol. 2. Leipzig: Reimer, 1829<br>217/34 to ///218/4<br>τοῦ δ' αὐτοῦ φρονήματός ἐστι καὶ ἡ στήλη, ἣν ὕστερον τούτων ἔστησαν λέγουσαν τάδε, Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην ἄτιμον καὶ πολέμιον εἶναι τοῦ δήμου τῶν Ἀθηναίων αὐτὸν καὶ γένος, ὅτι τὸν ἐκ Μήδων χρυσὸν εἰς Πελοπόννησον ἤγαγεν.<br><br>2.) Πρὸς Πλάτωνα ὑπὲρ τῶν τεττάρων, ed. W. Dindorf, Aristides, vol. 2. Leipzig: Reimer, 1829<br>303/8 to ///303/12<br>καὶ Θεμιστοκλῆς μὲν Ἄρθμιον ἐστηλίτευσεν, ὅτι τὸν ἐκ Μήδων χρυσὸν εἰς Πελοπόννησον ἤνεγκε, Πλάτων δὲ Θεμιστοκλέα καὶ Μιλτιάδην καὶ οὓς μετ' αὐτῶν ἠξίωσε καταλέξαι στηλίτας οὑτωσὶ πεποίηκε. | | -<br><br>+ | Charak-ter (Liebe zu Ste-sileos) |
| Aristoteles | 4. Jh. v. Chr. | Plut. Th. 10.4.-10.6.<br>κρατήσας δὲ τῇ γνώμῃ ψήφισμα γράφει, τὴν μὲν πόλιν παρακαταθέσθαι τῇ Ἀθηνᾷ τῇ Ἀθηνῶν μεδεούσῃ, τοὺς δ' ἐν ἡλικίᾳ πάντας ἐμβαίνειν εἰς τὰς τριήρεις, παῖδας δὲ καὶ γυναῖκας καὶ ἀνδράποδα σῴζειν ἕκαστον ὡς ἂν δύνηται. μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ὀκτὼ δραχμὰς ἑκάστῳ τῶν στρατευομένων αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις, Κλείδημος (FGrH 323 F 21) δὲ καὶ τοῦτο τοῦ Θεμιστοκλέους ποιεῖται στρατήγημα. | 116e-117a | + | Militär. Finanzen |

| | | | | | |
|---|---|---|---|---|---|
| | | Fragmenta varia, ed. V. Rose, Aristotelis qui ferebantur librorum fragmenta. Leipzig: Teubner, 1886 (repr. Stuttgart: 1967): 23-425. Dialogi (testimonia + frr. 1-111): 8t/44t/398-471n/21n to 8t/44t/398-471n/9n κρατήσας δὲ τῇ γνώμῃ (ὁ Θεμιστο κλῆς) ψήφισμα γράφει, τὴν μὲν πόλιν παρακαταθέσθαι τῇ Ἀθηνᾷ τῇ Ἀθηνέων μεδεούσῃ, τοὺς δ' ἐν ἡλικίᾳ πάντας ἐμβαίνειν εἰς τὰς τριήρεις, παῖδας δὲ καὶ γυναῖκας καὶ ἀνδράποδα σώζειν ἕκαστον ὡς δυνατόν οὐκ ὄντων δὲ δημοσίων χρημάτων τοῖς Ἀθηναίοις Ἀριστοτέλης μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ἑκάστῳ τῶν στρατευομένων ὀκτὼ δραχμὰς αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις:... | | | |
| Aristoteles | | Plut. Th.10.8.-10.10. Ἐκπλεούσης δὲ τῆς πόλεως τοῖς μὲν οἶκτον τὸ θέαμα, τοῖς δὲ θαῦμα τῆς τόλμης παρεῖχε, γενεὰς μὲν ἄλλῃ προπεμπόντων, αὐτῶν δ' ἀκάμπτων πρὸς οἰμωγὰς καὶ δάκρυα γονέων καὶ περιβολὰς διαπερώντων εἰς τὴν νῆσον. καίτοι πολὺν μὲν οἱ διὰ γῆρας ὑπολειπόμενοι τῶν πολιτῶν ἔλεον εἶχον, ἦν δέ τις καὶ ἀπὸ τῶν ἡμέρων καὶ συντρόφων ζῴων ἐπικλῶσα γλυκυθυμία, μετ' ὠρυγῆς καὶ πόθου συμπαραθεόντων ἐμβαίνουσι τοῖς ἑαυτῶν τροφεῦσιν. ἐν οἷς ἱστορεῖται κύων Ξανθίππου τοῦ Περικλέους πατρός, οὐκ ἀνασχόμενος τὴν ἀπ' αὐτοῦ μόνωσιν, ἐναλέσθαι τῇ θαλάττῃ καὶ τῇ τριήρει παρανηχόμενος | 117b-117c | + | Politik |

| | | | | | |
|---|---|---|---|---|---|
| | | ἐκπεσεῖν εἰς τὴν Σαλαμῖνα, καὶ λιποθυμήσας ἀποθανεῖν εὐθύς:<br>οὗ καὶ τὸ δεικνύμενον ἄχρι νῦν καὶ καλούμενον Κυνὸς σῆμα τάφον εἶναι λέγουσι.<br><br>Fragmenta varia, ed. V. Rose, Aristotelis qui ferebantur librorum fragmenta. Leipzig: Teubner, 1886 /8t/44t/398-471n/10n to /8t/44t/398-471n/23n<br>ἐκπλεούσης δὲ τῆς πόλεως τοῖς μὲν οἶκτον τὸ θέαμα, τοῖς δὲ θαῦμα τῆς τόλμης παρεῖχε γενεὰς μὲν ἄλλῃ προπεμπόντων, αὐτῶν δ' ἀκάμπτων πρὸς οἰμωγὰς καὶ δάκρυα γονέων καὶ περιβολὰς διαπερώντων εἰς τὴν νῆσον.<br>ἦν δέ τις καὶ ἀπὸ τῶν ἡμέρων καὶ συντρόφων ζῴων ἐπικλῶσα γλυκυθυμία μετ' ὠρυγῆς καὶ πόθου συμπαραθεόντων ἐμβαίνουσι τοῖς ἑαυτῶν τροφεῦσιν.<br>ἐν οἷς ἱστορεῖται κύων Ξανθίππου τοῦ Περικλέους πατρὸς οὐκ ἀνασχόμενος τὴν ἀπ' αὐτοῦ μόνωσιν ἐναλέσθαι τῇ θαλάττῃ καὶ τῇ τριήρει παρανηχόμενος ἐμπεσεῖν εἰς τὴν Σαλαμῖνα καὶ λιποθυμήσας ἀποθανεῖν εὐθύς:<br>οὗ καὶ τὸ δεικνύμενον ἄχρι νῦν καὶ καλούμενον Κυνὸς σῆμα τάφον εἶναι λέγουσιν. | | | |
| Demosthe-nes | 4.Jh. v.Chr. | Plut. Th.10.6.-10.7.<br>μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ὀκτὼ δραχμὰς ἑκάστῳ τῶν στρατευομένων αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις, Κλείδημος (FGrH 323 F 21) δὲ καὶ τοῦτο τοῦ Θεμιστοκλέους ποιεῖται στρατήγημα. | 117a-117c | - | Rede-wend-ung (das Volk mit mensch-lichen Be-schlüs-sen) |

| | | | | | |
|---|---|---|---|---|---|
| | | Contra Boeotum 2 [Sp.], ed. W. Rennie, Demosthenis orationes, vol. 2.2. Oxford: Clarendon Press, 1921 (repr. 1966): [1008–1026]. (Cod: 3,987: Orat.) /33 ad 109/1 to ///33 ad 109/6<br>καὶ εἰ μὴ Εὐθύδικος ὁ ἰατρός, πρὸς ὃν οὗτοι τὸ πρῶ δεόμενοι ἐπιτεμεῖν τὴν κεφαλὴν αὐτοῦ, πρὸς τὴν ἐξ Ἀρείου πάγου βουλὴν εἶπεν τὴν ἀλήθειαν πᾶσαν, τοιαύτην ἂν δίκην οὗτος εἰλήφει παρ' ἐμοῦ <τοῦ> μηδὲν ἀδικοῦντος, ἣν ὑμεῖς οὐδὲ κατὰ τῶν τὰ μέγιστ' ἀδικούντων ὑμᾶς ἐπιχειρήσαιτ' ἂν ποιήσασθαι. | | | |
| Dinarchus | Mitte 4./Anfang 3. Jh. v.Chr. | Plut. Th.10.6.-10.7.<br>μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ὀκτὼ δραχμὰς ἑκάστῳ τῶν στρατευομένων αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις, Κλείδημος (FGrH 323 F 21) δὲ καὶ τοῦτο τοῦ Θεμιστοκλέους ποιεῖται στρατήγημα.<br><br>1.) In Demosthenem, ed. N.C. Conomis, Dinarchi orationes cum fragmentis. Leipzig: Teubner, 1975: 11–54. (Cod: 7,775: Orat.) 62t/1 to ///62t/5<br>ἀλλὰ μὴν πρότερον ἔγραψας σὺ {ὦ} Δημόσθενες κατὰ πάντων τούτων καὶ τῶν ἄλλων Ἀθηναίων κυρίαν εἶναι τὴν ἐξ Ἀρείου πάγου βουλὴν κολάσαι τὸν παρὰ τοὺς νόμους πλημμελοῦντα, χρωμένην τοῖς πατρ[ί]οις νόμοις·<br>2.) In Demosthenem, ed. N.C. Conomis, Dinarchi orationes cum fragmentis. Leipzig: Teubner, 1975: 11–54. (Cod: | 117a-117c | - | Redewendung (das Volk mit menschlichen Beschlüssen) |

| | | | | | |
|---|---|---|---|---|---|
| | | 7,775: Orat.) 45t/6 to ///45t/9<br>ἢ τὴν ἐξ Ἀρείου πάγου βουλὴν <διὰ> Δημοσθένην καὶ Δημάδην καὶ Κηφισοφῶντα ζητήσασαν ἓξ μῆνας ἀδίκως εἰς ὑμᾶς πεποιῆσθαι τὰς ἀποφάσεις; | | | |
| Dinon | 4. Jh. v. Chr. | Plut. Th. 27.1.-27.2.<br>Θουκυδίδης (1, 137, 3) μὲν οὖν καὶ Χάρων ὁ Λαμψακηνὸς (FGrH 262 F 11) ἱστοροῦσι τεθνηκότος Ξέρξου πρὸς τὸν υἱὸν αὐτοῦ τῷ Θεμιστοκλεῖ γενέσθαι τὴν ἔντευξιν: Ἔφορος (FGrH 70 F 190) δὲ καὶ Δείνων (FGrH 690 F 13) καὶ Κλείταρχος (FGrH 137 F 33) καὶ Ἡρακλείδης (FGrH 689 F 6), ἔτι δ' ἄλλοι πλείονες πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην.<br><br>Fragmenta, ed. K. Müller, FHG 2. Paris: Didot, 1841-1870: 89-95. frr. 1-30. frr. 3, 10, 27 verba Latina solum. 20t8-30/1t to ///20t8-30/6t<br>Θουκυδίδης μὲν οὖν καὶ Χάρων ὁ Λαμψακηνὸς ἱστοροῦσι τεθνηκότος Ξέρξου πρὸς τὸν υἱὸν αὐτοῦ τῷ Θεμιστοκλεῖ γενέσθαι τὴν ἔντευξιν, Ἔφορος δὲ καὶ Δείνων καὶ Κλείταρχος καὶ Ἡρακλείδης, ἔτι δ’ ἄλλοι πλείονες, πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην. | 125b-125c | + | Politik |
| Diodorus Perieg. | 3.Jh. v. Chr. | Plut. Th. 32.5.-32.6.<br>Διόδωρος δ' ὁ περιηγητὴς ἐν τοῖς Περὶ μνημάτων (FGrH 372 F 35) εἴρηκεν ὡς ὑπονοῶν μᾶλλον ἢ γιγνώσκων, ὅτι περὶ τὸν μέγαν λιμένα τοῦ Πειραιῶς ἀπὸ τοῦ κατὰ τὸν Ἄλκιμον ἀκρωτηρίου πρόκειταί τις οἷον ἀγκών, καὶ κάμψαντι τοῦτον ἐντός, ᾗ τὸ ὑπεύδιον τῆς θαλάττης, κρηπίς ἐστιν εὐμεγέθης καὶ τὸ ἐπ' αὐτῇ | 128d-128e | + | Politik (Grab) |

| | | | | | |
|---|---|---|---|---|---|
| | | βωμοειδὲς τάφος τοῦ Θεμιστοκλέους.<br>ὁ σὸς δὲ τύμβος ἐν καλῷ κεχωσμένος τοῖς ἐμπόροις πρόσρησις ἔσται πανταχοῦ, τούς τ' ἐκπλέοντας εἰσπλέοντάς τ' ὄψεται, χὠπόταν ἅμιλλ' ᾖ τῶν νεῶν θεάσεται.<br><br>Fragmenta, ed. K. Müller, FHG 2. Paris: Didot, 1841–1870: 353–356. Frr. 1–15. /1t1-5/2 to///1t1-5/13<br>Διόδωρος δ' ὁ περιηγητὴς ἐν τοῖς Περὶ τῶν μνημάτων εἴρηκεν, ὡς ὑπονοῶν μᾶλλον ἢ γινώσκων, ὅτι περὶ τὸν λιμένα τοῦ Πειραιῶς ἀπὸ τοῦ κατὰ τὸν Ἄλκιμον ἀκρωτηρίου πρόκειταί τις οἷον ἀγκὼν, καὶ κάμψαντι τοῦτον ἐντὸς ᾗ τὸ ὑπεύδιον τῆς θαλάττης κρηπίς ἐστιν εὐμεγέθης καὶ τὸ περὶ αὐτὴν βωμοειδὲς τάφος τοῦ Θεμιστοκλέους. Ὁ σὸς δὲ τύμβος ἐν καλῷ κεχωσμένος τοῖς ἐμπόροις πρόσρησις ἔσται πανταχοῦ, τούς τ' ἐκπλέοντας εἰσπλέοντάς τ' ὄψεται χὠπόταν ἅμιλλα τῶν νεῶν θεάσεται. | | | |
| Diodorus Siculus | 1.Jh. v. Chr. | Plut. Th. 14.1.<br>Περὶ δὲ τοῦ πλήθους τῶν βαρβαρικῶν νεῶν Αἰσχύλος ὁ ποιητὴς ὡς ἂν εἰδὼς [καὶ] διαβεβαιούμενος ἐν [τραγῳδίᾳ] Πέρσαις (v. 336) λέγει ταῦτα:<br><br>Bibliotheca historica (lib. 1-20), ed. F. Vogel and K.T. Fischer (post I. Bekker & L. Dindorf), Diodori bibliotheca historica, 5 vols., 3rd edn. Leipzig: Teubner, 1:1888; 2:1890; (Cod: 419,934: Hist.) 11(?)/13t/1t/1t to /11(?)/13t/1t/9t<br>Μετὰ δὲ τὴν ναυμαχίαν | 119b | - | Politik |

| | | | | | |
|---|---|---|---|---|---|
| | | χειμὼν ἐπιγενόμενος μέγας πολλὰς ἐκτὸς τοῦ λιμένος ὁρμούσας τῶν νεῶν διέφθειρεν, ὥστε δοκεῖν τὸ θεῖον ἀντιλαμβάνεσθαι τῶν Ἑλλήνων, ἵνα τοῦ πλήθους τῶν βαρβαρικῶν νεῶν ταπεινωθέντος ἀντίπαλος ἡ τῶν Ἑλλήνων δύναμις γένηται καὶ πρὸς τὰς ναυμαχίας ἀξιόχρεως διόπερ οἱ μὲν Ἕλληνες ἀεὶ μᾶλλον ἐθάρρουν, οἱ δὲ βάρβαροι ἀεὶ πρὸς τοὺς κινδύνους ἐγίνοντο δειλότεροι. | | | |
| Diodorus Siculus | | Plut. Th. 20.2.<br>οἱ μὲν οὖν Ἀθηναῖοι διὰ ταῦτα παύσασθαι τῷ Θεμιστοκλεῖ προσέταξαν.<br><br>Bibliotheca historica (lib. 1–20), ed. F. Vogel and K.T. Fischer (post I. Bekker & L. Dindorf), Diodori bibliotheca historica, 5 vols., 3rd edn. Leipzig: Teubner, 1:1888; 2:1890; 11(?)/77t/5t/1t to /11(?)/77t/5t/4t<br>οἱ μὲν οὖν Ἀθηναῖοι διὰ τὴν ἰδίαν ἀρετὴν τυχόντες τῆς σωτηρίας ἀπῆλθον ἐκ τῆς Αἰγύπτου, καὶ διὰ τῆς Λιβύης εἰς Κυρήνην ἀπελθόντες ἐσώθησαν παραδόξως εἰς τὴν πατρίδα. | 122a | - | Politik |
| Ephoros | 4.Jh. v. Chr. | Plut. Th. 27.1.–27.2.<br>Θουκυδίδης (1, 137, 3) μὲν οὖν καὶ Χάρων ὁ Λαμψακηνὸς (FGrH 262 F 11) ἱστοροῦσι τεθνηκότος Ξέρξου πρὸς τὸν υἱὸν αὐτοῦ τῷ Θεμιστοκλεῖ γενέσθαι τὴν ἔντευξιν:<br>Ἔφορος (FGrH 70 F 190) δὲ καὶ Δείνων (FGrH 690 F 13) καὶ Κλείταρχος (FGrH 137 F 33) καὶ Ἡρακλείδης (FGrH 689 F 6), ἔτι δ' ἄλλοι πλείονες πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην.<br>τοῖς δὲ χρονικοῖς δοκεῖ μᾶλλον ὁ Θουκυδίδης | 125b-125c<br><br>. | + | Politik |

| | | | | | |
|---|---|---|---|---|---|
| | | συμφέρεσθαι, καίπερ οὐδ' αὐτοῖς ἀτρέμα συντεταγμένοις.<br><br>Fragmenta, FGrH #70: 2A:43-109. fr. 191: P. Oxy. 13.1610. (Pap: 21,344: Hist., Rhet.) 2a,70,F/190a/3 to //2a,70,F/190a/6<br>Ἔφορος δὲ καὶ Δείνων (III) καὶ Κλείταρχος (137 F 33) καὶ Ἡρακλείδης (III), ἔτι δ' ἄλλοι πλείονες, πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην.<br>τοῖς δὲ χρονικοῖς δοκεῖ μᾶλλον ὁ Θουκυδίδης συμφέρεσθαι, καίπερ οὐδ' αὐτοῖς ἀτρέμα συνταττομένοις.. | | | |
| Isokrates | Ende 5./Mitte 4.Jh. | Plut. Th.10.6.-10.7.<br>μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ὀκτὼ δραχμὰς ἑκάστῳ τῶν στρατευομένων αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις, Κλείδημος (FGrH 323 F 21) δὲ καὶ τοῦτο τοῦ Θεμιστοκλέους ποιεῖται στρατήγημα.<br><br>Areopagiticus (orat. 7), ed. G. Mathieu, Isocrate. Discours, vol. 3. Paris: Les Belles Lettres, 1942 (repr. 1966): 63-84. (Cod: 4,743: Orat.) /37t/5 to ///37t/11<br>Οὕτω γὰρ ἡμῶν οἱ πρόγονοι σφόδρα περὶ τὴν σωφροσύνην ἐσπούδαζον, ὥστε τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐπέστησαν ἐπιμελεῖσθαι τῆς εὐκοσμίας, ἧς οὐχ οἷόν τ' ἦν μετασχεῖν πλὴν τοῖς καλῶς γεγονόσιν καὶ πολλὴν ἀρετὴν ἐν τῷ βίῳ καὶ σωφροσύνην ἐνδεδειγμένοις, ὥστ' εἰκότως αὐτὴν διενεγκεῖν τῶν ἐν τοῖς Ἕλλησι συνεδρίων. | 117a-117c | - | Rede-wend-ung (das Volk mit mensch-lichen Be-schlüs-sen) |
| Kleidemos | 4.Jh. v. Chr. | Plut. Th. 10.7.<br>τὸν οὖν Θεμιστο κλέα | 117e | | Militär. Finanzen |

| | | | | | |
|---|---|---|---|---|---|
| | | προσποιούμενον ζητεῖν καὶ διερευνώμενον ἅπαντα, χρημάτων ἀνευρίσκειν πλῆθος ἐν ταῖς ἀποσκευαῖς ἀποκεκρυμμένον, ὧν εἰς μέσον κομισθέντων εὐπορῆσαι τοὺς ἐμβαίνοντας εἰς τὰς ναῦς ἐφοδίων.<br><br>1.) Fragmenta, ed. K. Müller, FHG 1. Paris: Didot, 1841–1870: 359–365. frr. 1–30a. fr. 30a verba Latina solum. (Q: 1,498: Hist.) 13t10-16/3 to 13t10-16/7<br>Τὸν οὖν Θεμιστοκλέα προσποιούμενον ζητεῖν, καὶ διερευνώμενον ἅπαντα, χρημάτων εὑρίσκειν πλῆθος ἐν ταῖς ἀποσκευαῖς ἀποκεκρυμμένον:<br>2.) Fragmenta, ed. K. Müller, FHG 1. Paris: Didot, 1841–1870: 359–365. frr. 1–30a. fr. 30a verba Latina solum. (Q: 1,498: Hist.) /13t10-16/7 to ///13t10-16/9<br>ὧν εἰς μέσον κομισθέντων, εὐπορῆσαι τοὺς ἐμβαίνοντας εἰς τὰς ναῦς ἐφοδίων. | | +<br><br>- | |
| Melissos | 5. Jh. v. Chr. | Plut. Th. 2.5.-2.6.<br>καίτοι Στησίμβροτος (FGrH 107 F 1) Ἀναξα γόρου τε διακοῦσαι τὸν Θεμιστοκλέα φησὶ καὶ περὶ Μέλισσον σπουδάσαι τὸν φυσικόν, οὐκ εὖ τῶν χρόνων ἁπτόμενος:<br>Περικλεῖ γάρ, ὃς πολὺ νεώτερος ἦν Θεμιστο κλέους, Μέλισσος μὲν ἀντεστρατήγει πολιορκοῦντι Σαμίους, Ἀναξαγόρας δὲ συνδιέτριβε.<br><br>Testimonia, ed. H. Diels and W. Kranz, Die Fragmente der Vorsokratiker, vol. 1, 6th edn. Berlin: Weidmann, 1951<br>3/22 to //////3/25<br>Ἀναξαγόρου τε διακοῦσαι τὸν Θεμιστοκλέα φησὶ καὶ περὶ Μέλισσον σπουδάσαι | 112c | / | Bildung |

| | | | | | |
|---|---|---|---|---|---|
| | | τὸν φυσικόν, οὐκ εὖ τῶν χρόνων ἁπτόμενος<br>Περικλεῖ γάρ, ὃς πολὺ νεώτερος ἦν Θεμιστοκλέους, Μέλισσος μὲν ἀντεστρατήγει πολιορκοῦντι Σαμίους, Ἀναξαγόρας δὲ συνδιέτριβε. | | | |
| Neanthes | | Plut. Th. 29.11.<br>πόλεις δ' αὐτῷ τρεῖς μὲν οἱ πλεῖστοι δοθῆναι λέγουσιν εἰς ἄρτον καὶ οἶνον καὶ ὄψον, Μαγνησίαν καὶ Λάμψακον καὶ Μυοῦντα<br>δύο δ' ἄλλας προστίθησιν ὁ Κυζικη νὸς Νεάνθης (FGrH 84 F 17 a) καὶ Φανίας (FHG II 296), Περκώτην καὶ Παλαίσκηψιν εἰς στρωμνὴν καὶ ἀμπεχόνην.<br><br>Fragmenta, ed. K. Müller, FHG 3. Paris: Didot, 1841-1870: 3-11. frr. 1-36. (Q: 2,694: Hist.):<br>/3a/1t to ////3a/6t<br>Πόλεις δ' αὐτῷ τρεῖς μὲν οἱ πλεῖστοι δοθῆναι λέγουσιν, εἰς ἄρτον καὶ οἶνον καὶ ὄψον, Μαγνησίαν καὶ Λάμψακον καὶ Μυοῦντα:<br>δύο δ' ἄλλας προστίθησιν ὁ Κυζικηνὸς Νεάνθης καὶ Φανίας, Περκώτην καὶ Παλαίσκηψιν εἰς στρωμνὴν καὶ ἀμπεχόνην. | 127a | + | Politik |
| Phaenias | 4.Jh. v. Chr. | Plut. Th. 1.1.-1.2.<br>Θεμιστοκλεῖ δὲ τὰ μὲν ἐκ γένους ἀμαυρότερα πρὸς δόξαν ὑπῆρχε:<br>πατρὸς γὰρ ἦν Νεοκλέους οὐ τῶν ἄγαν ἐπιφανῶν Ἀθήνησι, Φρεαρρίου τῶν δήμων ἐκ τῆς Λεωντίδος φυλῆς, νόθος δὲ πρὸς μητρός, ὥς λέγουσιν:<br>ἀλλὰ τεκέσθαι τὸν μέγαν Ἕλλησίν φημι Θεμιστοκλέα.<br>Φανίας (FHG II 295) μέντοι τὴν μητέρα τοῦ Θεμιστοκλέους οὐ Θρᾶτταν, ἀλλὰ Καρίνην, οὐδ' Ἀβρότονον ὄνομα, ἀλλ' | 111e | + | Herkunft |

| | | | | | |
|---|---|---|---|---|---|
| | | Εὐτέρπην ἀναγράφει.<br><br>Fragmenta, ed. F. Wehrli, Phainias von Eresos. Chamaileon. Praxiphanes 23a/1 to /23a/8<br>Θεμιστοκλεῖ δὲ τὰ μὲν ἐκ γένους ἀμαυ ρότερα πρὸς δόξαν ὑπῆρχε:<br>πατρὸς γὰρ ἦν Νεοκλέους οὐ τῶν ἄγαν ἐπιφανῶν Ἀθήνησι, Φρεαρρίου τῶν δήμων ἐκ τῆς Λεωντίδος φυλῆς, νόθος δὲ πρὸς μητρός, ὡς λέγουσιν<br>Ἀβρότονον Θρήισσα γυνὴ πέλον, ἀλλὰ τεκέσθαι τὸν μέγαν Ἕλλησίν φημι Θεμιστοκλέα<br>Φανίας μέντοι τὴν μητέρα τοῦ Θεμιστοκλέους οὐ Θρᾷτταν ἀλλὰ Καρίνην οὐδ' Ἀβρότονον ὄνομα ἀλλ' Εὐτέρπην ἀναγράφει. | | | |
| Phaenias | | Plut. Th.7.6.-7.7.<br>ἐναντιουμένου δ' αὐτῷ μάλιστα τῶν πολιτῶν Ἀρχιτέλους, ὃς ἦν μὲν ἐπὶ τῆς ἱερᾶς νεὼς τριήραρχος, οὐκ ἔχων δὲ χρήματα τοῖς ναύταις χορηγεῖν ἔσπευδεν ἀποπλεῦσαι, παρώξυνεν ἔτι μᾶλλον ὁ Θεμιστοκλῆς τοὺς τριηρίτας ἐπ' αὐτόν, ὥστε τὸ δεῖπνον ἁρπάσαι συνδραμόντας. Τοῦ δ' Ἀρχιτέλους ἀθυμοῦντος ἐπὶ τούτῳ καὶ βαρέως φέροντος, εἰσέπεμψεν ὁ Θεμιστοκλῆς πρὸς αὐτὸν ἐν κίστῃ δεῖπνον ἄρτων καὶ κρεῶν, ὑποθεὶς κάτω τάλαντον ἀργυρίου καὶ κελεύσας αὐτόν τε δειπνεῖν ἐν τῷ παρόντι καὶ μεθ' ἡμέραν ἐπιμεληθῆναι τῶν τριηριτῶν: εἰ δὲ μή, καταβοήσειν αὐτοῦ πρὸς τοὺς πολίτας ὡς ἔχοντος ἀργύριον παρὰ τῶν πολεμίων.<br>Ταῦτα μὲν οὖν Φανίας ὁ Λέσβιος (FHG II 294) | 115e-115d | + | Finanzen |

| | | | | | |
|---|---|---|---|---|---|
| | | εἴρηκεν.7<br><br>Fragmenta, ed. F. Wehrli, Phainias von Eresos. Chamaileon. Praxiphanes 24a/21 to<br>26a/22<br>ἐπεὶ δὲ ταῖς Ἀφεταῖς τοῦ βαρβα ρικοῦ στόλου προσμείξαντος ἐκπλαγεὶς ὁ Εὐρυβιάδης τῶν κατὰ στόμα νεῶν τὸ πλῆθος, ἄλλας δὲ πυνθανόμενος διακοσίας ὑπὲρ Σκιάθου κύκλῳ περιπλεῖν, ἐβούλετο τὴν ταχίστην εἴσω τῆς Ἑλλάδος κομισθεὶς ἅψασθαι Πελοποννήσου καὶ τὸν πεζὸν στρατὸν ταῖς ναυσὶ προσπεριβαλέσθαι, παντάπασιν ἀπρόσμαχον ἡγούμενος τὴν κατὰ θάλατταν ἀλκὴν βασιλέως, δείσαντες οἱ Εὐβοεῖς, μὴ σφᾶς οἱ Ἕλληνες πρόωνται, κρύφα τῷ Θεμιστοκλεῖ διελέγοντο, Πελάγοντα μετὰ χρημάτων πολλῶν πέμψαντες. | | | |
| Phaenias | | Plut. Th. 13.2-13.5.<br><br>Θεμιστοκλεῖ δὲ παρὰ τὴν ναυαρχίδα τριήρη σφαγιαζομένῳ τρεῖς προσήχθησαν αἰχμάλωτοι, κάλλιστοι μὲν ἰδέσθαι τὴν ὄψιν, ἐσθῆτι δὲ καὶ χρυσῷ κεκοσμημένοι διαπρεπῶς. ἐλέγοντο δὲ Σανδάκης παῖδες εἶναι τῆς βασιλέως ἀδελφῆς καὶ Ἀρταΰκτου. Τούτους ἰδὼν Εὐφραντίδης ὁ μάντις, ὡς ἅμα μὲν ἀνέλαμψεν ἐκ τῶν ἱερῶν μέγα καὶ περιφανὲς πῦρ, ἅμα δὲ πταρμὸς ἐκ δεξιῶν ἐσήμηνε, τὸν Θεμιστοκλέα δεξιωσάμενος ἐκέλευσε τῶν νεανίσκων κατάρξασθαι καὶ καθιερεῦσαι πάντας ὠμηστῇ Διονύσῳ προσευξάμενον: | 118f-119b | + | Prophe-zeiung |

| | | | | | |
|---|---|---|---|---|---|
| | | οὕτω γὰρ ἅμα σωτηρίαν καὶ νίκην ἔσεσθαι τοῖς Ἕλλησιν. ἐκπλαγέντος δὲ τοῦ Θεμιστοκλέους ὡς μέγα τὸ μάντευμα καὶ δεινόν, οἷον εἴωθεν ἐν μεγάλοις ἀγῶσι καὶ πράγμασι χαλεποῖς, μᾶλλον ἐκ τῶν παραλόγων ἢ τῶν εὐλόγων τὴν σωτηρίαν ἐλπίζοντες οἱ πολλοὶ τὸν θεὸν ἅμα κοινῇ κατεκαλοῦντο φωνῇ, καὶ τοὺς αἰχμαλώτους τῷ βωμῷ προσαγαγόντες ἠνάγκασαν, ὡς ὁ μάντις ἐκέλευσε, τὴν θυσίαν συντελεσθῆναι. Ταῦτα μὲν οὖν ἀνὴρ φιλόσοφος καὶ γραμμάτων οὐκ ἄπειρος ἱστορικῶν Φανίας ὁ Λέσβιος (FHG II 295) εἴρηκε<br><br>Fragmenta, ed. F. Wehrli, Phainias von Eresos. Chamaileon. Praxiphanes 25a/1 to<br>25a/14<br>Θεμιστοκλεῖ δὲ παρὰ τὴν ναυαρ χίδα τριήρη σφαγιαζομένῳ τρεῖς προσήχθησαν αἰχμάλωτοι, κάλλιστοι μὲν ἰδέσθαι τὴν ὄψιν, ἐσθῆτι δὲ καὶ χρυσῷ κεκοσμημένοι διαπρεπῶς. ἐλέγοντο δὲ Σανδάκης παῖδες εἶναι τῆς βασιλέως ἀδελφῆς καὶ Ἀρταΰκτου. Τούτους ἰδὼν Εὐφραντίδης ὁ μάντις, ὡς ἅμα μὲν ἀνέλαμψεν ἐκ τῶν ἱερῶν μέγα καὶ περιφανὲς πῦρ, ἅμα δὲ πταρμὸς ἐκ δεξιῶν ἐσήμηνε, τὸν Θεμιστοκλέα δεξιωσάμενος ἐκέλευσε τῶν νεανίσκων κατάρξασθαι καὶ καθιερεῦσαι πάντας ὠμηστῇ Διονύσῳ προσευξάμενον: οὕτω γὰρ ἅμα σωτηρίαν καὶ νίκην ἔσεσθαι τοῖς Ἕλλησιν. ἐκπλαγέντος δὲ τοῦ Θεμιστοκλέους ὡς μέγα τὸ | | | |

| | | | | | |
|---|---|---|---|---|---|
| | | μάντευμα καὶ δεινόν, οἷον εἴωθεν ἐν μεγάλοις ἀγῶσι καὶ πράγμασι χαλεποῖς, μᾶλλον ἐκ τῶν παραλόγων ἢ τῶν εὐλόγων τὴν σωτηρίαν ἐλπίζοντες οἱ πολλοὶ τὸν θεὸν ἅμα κοινῇ κατεκαλοῦντο φωνῇ καὶ τοὺς αἰχμαλώτους τῷ βωμῷ προσαγαγόντες ἠνάγκασαν, ὡς ὁ μάντις ἐκέλευσε, τὴν θυσίαν συντελεσθῆναι.<br>Ταῦτα μὲν οὖν ἀνὴρ φιλόσοφος καὶ γραμμάτων οὐκ ἄπειρος ἱστορικῶν Φανίας ὁ Λέσβιος εἴρηκε. | | | |
| Phaenias | | Plut. Th. 27.1.–27.8<br>Ἔφορος (FGrH 70 F 190) δὲ καὶ Δείνων (FGrH 690 F 13) καὶ Κλείταρχος (FGrH 137 F 33) καὶ Ἡρακλείδης (FGrH 689 F 6), ἔτι δ' ἄλλοι πλείονες πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην.:<br>ὁ δ' οὖν Θεμιστοκλῆς γενόμε νος παρ' αὐτὸ τὸ δεινόν, ἐντυγχάνει πρῶτον Ἀρταβάνῳ τῷ χιλιάρχῳ, λέγων Ἕλλην μὲν εἶναι, βούλεσθαι δ' ἐντυχεῖν βασιλεῖ περὶ πραγμάτων μεγάλων καὶ πρὸς ἃ τυγχάνοι μάλιστα σπουδάζων ἐκεῖνος. ‘ὦ ξένε, νόμοι διαφέρουσιν ἀνθρώπων:<br>καλὸν δὲ πᾶσι τὰ οἰκεῖα κοσμεῖν καὶ σῴζειν. ὑμᾶς μὲν οὖν ἐλευθερίαν μάλιστα θαυμάζειν καὶ ἰσότητα λόγος:<br>ἡμῖν δὲ πολλῶν νόμων καὶ καλῶν ὄντων κάλλιστος οὗτός ἐστι, τιμᾶν βασιλέα καὶ προσκυνεῖν ὡς εἰκόνα θεοῦ τοῦ τὰ πάντα σῴζοντος. εἰ μὲν οὖν ἐπαινῶν τὰ ἡμέτερα προσκυνήσεις, ἔστι σοι καὶ θεάσασθαι βασιλέα καὶ προσειπεῖν:<br>εἰ δ' ἄλλο τι φρονεῖς, ἀγγέλοις ἑτέροις χρήσῃ πρὸς | 125b-125e | + | Politik |

| | | | | | |
|---|---|---|---|---|---|
| | | αὐτόν.<br>βασιλεῖ γὰρ οὐ πάτριον ἀνδρὸς ἀκροᾶσθαι μὴ προσκυνήσαντος.<br>‘ἀλλ’ ἐγὼ τὴν βασιλέως ὦ Ἀρτάβανε φήμην καὶ δύναμιν αὐξήσων ἀφῖγμαι, καὶ αὐτός τε πείσομαι τοῖς ὑμετέροις νόμοις, ἐπεὶ θεῷ τῷ μεγαλύνοντι Πέρσας οὕτω δοκεῖ, καὶ δι’ ἐμὲ πλείονες τῶν νῦν βασιλέα προσκυνήσουσιν.<br>ὥστε τοῦτο μηδὲν ἐμποδὼν ἔστω τοῖς λόγοις οὓς βούλομαι πρὸς ἐκεῖνον εἰπεῖν<br>‘τοῦτ’ οὐκ ἄν’ ἔφη ‘πύθοιτό τις Ἀρτάβανε πρότερος βασιλέως.<br>ὁ δ’ Ἐρατο σθένης ἐν τοῖς Περὶ πλούτου (FGrH 241 F 27) προσιστόρησε, διὰ γυναικὸς Ἐρετρικῆς ἣν ὁ χιλίαρχος εἶχε τῷ Θεμιστοκλεῖ τὴν πρὸς αὐτὸν ἔντευξιν γενέσθαι καὶ σύστασιν.<br><br>Fragmenta, ed. F. Wehrli, Phainias von Eresos. Chamaileon. Praxiphanes 26a/5/ to 26a/26<br>ἔτι δ' ἄλλοι πλείονες πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην.<br>ὁ δ’ οὖν Θεμιστοκλῆς γενόμενος παρ’ αὐτὸ τὸ δεινὸν ἐντυγχάνει πρῶτον Ἀρταβάνῳ τῷ χιλιάρχῳ, λέγων Ἕλλην μὲν εἶναι, βούλεσθαι δ’ ἐντυχεῖν βασιλεῖ περὶ πραγμάτων μεγάλων καὶ πρὸς ἃ τυγχάνοι μάλιστα σπουδάζων ἐκεῖνος.<br>„ὦ ξένε, νόμοι διαφέρουσιν ἀνθρώπων:<br>καλὸν δὲ πᾶσι τὰ οἰκεῖα κοσμεῖν καὶ σώζειν. ὑμᾶς μὲν οὖν ἐλευθερίαν μάλιστα θαυμάζειν καὶ ἰσότητα λόγος:<br>ἡμῖν δὲ πολλῶν νόμων καὶ | | | |

| | | | | | |
|---|---|---|---|---|---|
| | | καλῶν ὄντων κάλλιστος οὗτός ἐστι, τιμᾶν βασιλέα καὶ προσκυνεῖν ὡς εἰκόνα θεοῦ τοῦ πάντα σῴζοντος. εἰ μὲν οὖν ἐπαινῶν τὰ ἡμέτερα προσκυνήσεις, ἔστι σοι καὶ θεάσασθαι βασιλέα καὶ προσειπεῖν: εἰ δ' ἄλλο τι φρονεῖς, ἀγγέλοις ἑτέροις χρήσῃ πρὸς αὐτόν. βασιλεῖ γὰρ οὐ πάτριον ἀνδρὸς ἀκροᾶσθαι μὴ προσκυνήσαντος. ἀλλ' ἐγὼ τὴν βασιλέως, ὦ Ἀρτάβανε, φήμην καὶ δύναμιν αὐξήσων ἀφῖγμαι, καὶ αὐτός τε πείσομαι τοῖς ὑμετέροις νόμοις, ἐπεὶ θεῷ τῷ μεγαλύνοντι Πέρσας οὕτω δοκεῖ, καὶ δι' ἐμὲ πλείονες τῶν νῦν βασιλέα προσκυνήσουσιν. ὥστε τοῦτο μηδὲν ἐμποδὼν ἔστω τοῖς λόγοις, οὓς βούλομαι πρὸς ἐκεῖνον εἰπεῖν. "τοῦτ' οὐκ ἄν, ἔφη, πύθοιτό τις, Ἀρτάβανε, πρότερος βασιλέως. ὁ δ' Ἐρατοσθένης ἐν τοῖς περὶ πλούτου προσιστόρησε διὰ γυναικὸς Ἐρετρικῆς ἣν ὁ χιλίαρχος εἶχε τῷ Θεμιστοκλεῖ τὴν πρὸς αὐτὸν ἔντευξιν γενέσθαι καὶ σύστασιν. | | | |
| Phaenias | | Plut. Th. 29.11.<br>δύο δ' ἄλλας προστίθησιν ὁ Κυζικη νὸς Νεάνθης (FGrH 84 F 17 a) καὶ Φανίας (FHG II 296), Περκώτην καὶ Παλαίσκηψιν εἰς στρωμνὴν καὶ ἀμπεχόνην.<br><br>Fragmenta, ed. F. Wehrli, Phainias von Eresos. Chamaileon. Praxiphanes-Fragmentum dubium: fr. 51. (Q: 3,612: Hist., Nat. Hist., Paradox., Phil.) 28a/3 to | 127a | + | Politik |

| | | | | | |
|---|---|---|---|---|---|
| | | ///28a/5<br>δύο δ' ἄλλας προστίθησιν ὁ Κυζικηνὸς Νεάνθης (F Gr Hist 84 F 17 a) καὶ Φανίας, Περκώτην καὶ Παλαίσκηψιν εἰς στρωμνὴν καὶ ἀμπεχόνην. | | | |
| Phanode-mos | 4.Jh. v. Chr. | Plut. Th. 13.1.<br>Ἅμα δ' ἡμέρᾳ Ξέρξης μὲν ἄνω καθῆστο, τὸν στόλον ἐποπτεύων καὶ τὴν παράταξιν, ὡς μὲν Φανόδημός (FGrH 325 F 24) φησιν ὑπὲρ τὸ Ἡράκλειον, ᾗ βραχεῖ πόρῳ διείργεται τῆς Ἀττικῆς ἡ νῆσος, ὡς δ' Ἀκεστόδωρος (FHG II 464) ἐν μεθορίᾳ τῆς Μεγαρίδος ὑπὲρ τῶν καλουμένων Κεράτων, χρυσοῦν δίφρον θέμενος καὶ γραμματεῖς πολλοὺς παραστησάμενος, ὧν ἔργον ἦν ἀπογράφεσθαι τὰ κατὰ τὴν μάχην πραττόμενα.<br><br>Fragmenta, ed. K. Müller, FHG 1. Paris: Didot, 1841-1870: 366-370. frr. 1-26. (Q: 1,094: Hist.) 16t7-26/1 to 16t7-26/6<br>Ἅμα δ' ἡμέρᾳ Ξέρξης μὲν ἄνω καθῆτο τὸν στόλον ἐποπτεύων καὶ τὴν παράταξιν, ὡς μὲν Φανόδημός φησιν, ὑπὲρ τὸ Ἡράκλειον, ᾗ βραχεῖ πόρῳ διείργεται τῆς Ἀττικῆς ἡ νῆσος (Σαλαμίς), ὡς δ' Ἀκεστόδωρος, ἐν μεθορίῳ τῆς Μεγαρίδος, ὑπὲρ τῶν καλουμένων Κεράτων. | 118e | + | Militäri-sche Leistung |
| Phylarchos | 3. Jh. v. Chr. | Plut. Th 32.4.-32.5.<br>λέγοντι φωράσαντας τὰ λείψανα διαρρῖψαι τοὺς Ἀθηναίους_ψεύδεται γὰρ ἐπὶ τὸν δῆμον παροξύνων τοὺς ὀλιγαρχικούς_, ἅ τε Φύλαρχος (FGrH 81 F 76), ὥσπερ ἐν τραγῳδίᾳ τῇ ἱστορίᾳ μονονοὺ μηχανὴν ἄρας καὶ προαγαγὼν Νεοκλέα τινὰ καὶ Δημόπολιν, | 128c-128d | | Kinder |

| | | | | | |
|---|---|---|---|---|---|
| | | υἱεῖς Θεμιστοκλέους, ἀγῶνα βούλεται κινεῖν καὶ πάθος, [ὃ] οὐδ' ἂν ὁ τυχὼν ἀγνοήσειεν ὅτι πέπλασται.<br><br>1.)Fragmenta, FGrH #81: 2A:162-189. fr. 84: Dup. 1609 003<br>/2a,81,F/76a/3 to //2a,81,F/76a/4<br>λέγοντι, φωρά σαντας τὰ λείψανα διαρρῖψαι τοὺς Ἀθηναίους.<br><br>2.) fragmenta, FGrH #81: 2A:162-189. fr. 84: Dup. 1609 003<br>2a,81,F/76a/4 to //2a,81,F/76a/7<br>ὅ τε Φύλαρχος ὥσπερ ἐν τραγωιδίαι τῆι ἱστορίαι μονονοὺ μηχανὴν ἄρας καὶ προαγαγὼν Νεοκλέα τινὰ καὶ Δημόπολιν, υἱοὺς Θεμιστοκλέους, ἀγῶνα βούλεται κινεῖν καὶ πάθος, ὃ οὐδ' ἂν ὁ τυχὼν ἀγνοήσειεν ὅτι πέπλασται. | | -<br><br>+ | |
| Platon (Komiker) | 4.Jh. v.Chr. | Plut. Th. 32.6.<br>2 ὁ σὸς δὲ τύμβος ἐν καλῷ κεχωσμένος τοῖς ἐμπόροις πρόσρησις ἔσται πανταχοῦ, τούς τ' ἐκπλέοντας εἰσπλέοντάς τ' ὄψεται, χὡπόταν ἅμιλλ' ᾖ τῶν νεῶν θεάσεται.<br><br>1.)Fragmenta, ed. T. Kock, Comicorum Atticorum fragmenta, vol. 1. Leipzig: Teubner, 1880<br>180t173-182/1 to ///183t183-259/4<br>ἀκταινῶσαι ἀναίνεσθαι ἀτηρίας {ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ} ὁ σὸς δὲ τύμβος ἐν καλῷ κεχωσμένος τοῖς ἐμπόροις πρόσρησις ἔσται πανταχοῦ, οὓς ἐκπλέοντάς τ' εἰσπλέοντάς τ' ὄψεται, χὡπόταν ἅμιλλ' ᾖ τῶν νεῶν | 128d-128e | -<br><br>+ | Politik (Grabmahl) |

| | | | | | |
|---|---|---|---|---|---|
| | | θεάσεται.<br><br>2.) Fragmenta, ed. A. Meineke, Fragmenta comicorum Graecorum, vol. 2.2. Berlin: Reimer, 1840 (repr. De Gruyter, 1970) /IFF/1t/1 to //IFF/1t/4<br>Ὁ σὸς δὲ τύμβος ἐν καλῷ κεχωσμένος τοῖς ἐμπόροις πρόσρησις ἔσται πανταχοῦ, τοὺς ἐκπλέοντάς τ' εἰσπλέοντάς τ' ὄψεται, χὡπόταν ἅμιλλ' ᾖ τῶν νεῶν θεάσεται. | | | |
| Stesimbrotos | 5. Jh. v. Chr. | Plut. Th. 2.5.–2.6.<br>καίτοι Στησίμβροτος (FGrH 107 F 1) Ἀναξα γόρου τε διακοῦσαι τὸν Θεμιστοκλέα φησὶ καὶ περὶ Μέλισσον σπουδάσαι τὸν φυσικόν, οὐκ εὖ τῶν χρόνων ἁπτόμενος:<br>Περικλεῖ γάρ, ὃς πολὺ νεώτερος ἦν Θεμιστο κλέους, Μέλισσος μὲν ἀντεστρατήγει πολιορκοῦντι Σαμίους, Ἀναξαγόρας δὲ συνδιέτριβε.<br><br>Fragmenta, ed. K. Müller, FHG 2. Paris: Didot, 1841–1870: 53–58. Frr. 1–18. fr. 12 verba Latina solum. (Q: 1,564: Hist.) 1.12.<br>1t1–12/1 to 1t1–12/6<br>Στησίμβροτος Ἀναξαγόρου τε διακοῦσαι τὸν Θεμιστοκλέα φησὶ καὶ περὶ Μέλισσον σπουδάσαι τὸν φυσικὸν, οὐκ εὖ τῶν χρόνων ἁπτόμενος:<br>Περικλεῖ γὰρ, ὃς πολὺ νεώτερος ἦν Θεμιστοκλέους, Μέλισσος μὲν ἀντεστρατήγει πολιορκοῦντι Σαμίους, Ἀναξαγόρας δὲ συνδιέτριβε. | 112c | + | Bildung |
| Stesimbrotos | | Plut. Th. 2.8.<br>ἃ δὲ τούτων ἐξαρτῶσιν ἔνιοι διηγή ματα πλάττοντες, ἀποκήρυξιν μὲν ὑπὸ τοῦ πατρὸς αὐτοῦ, θάνατον δὲ τῆς μητρὸς ἑκούσιον ἐπὶ τῇ | 112e-112f | + | Bildung |

| | | | | | |
|---|---|---|---|---|---|
| | | τοῦ παιδὸς ἀτιμίᾳ περιλύπου γενομένης, δοκεῖ κατεψεῦσθαι, καὶ τοὐναντίον εἰσὶν οἱ λέγοντες, ὅτι τοῦ τὰ κοινὰ πράττειν ἀποτρέπων αὐτὸν ὁ πατὴρ ἐπεδείκνυε πρὸς τῇ θαλάττῃ τὰς παλαιὰς τριήρεις ἐρριμμένας καὶ παρορωμένας, ὡς δὴ καὶ πρὸς τοὺς δημαγωγούς, ὅταν ἄχρηστοι γένωνται, τῶν πολλῶν ὁμοίως ἐχόντων.<br><br>Fragmenta, ed. K. Müller, FHG 2. Paris: Didot, 1841–1870: 53–58. Frr. 1–18. fr. 12 verba Latina solum. (Q: 1,564: Hist.) 1.12.<br>1t1–12/10 to ///1t1–12/13<br>Ἃ δὲ τούτων ἐξαρτῶσιν ἔνιοι διηγήματα πλάττοντες, ἀποκήρυξιν ὑπὸ τοῦ πατρὸς αὐτοῦ, θάνατον δὲ τῆς μητρὸς ἑκούσιον, ἐπὶ τῇ τοῦ παιδὸς ἀτιμίᾳ περιλύπου γενομένης, δοκεῖ κατεψεῦσθαι. | | | |
| Stesimbro-tos | | Plut. Th. 24.6.–24.7.<br>ἐκεῖ δ' αὐτῷ τὴν γυναῖκα καὶ τοὺς παῖδας ἐκκλέψας ἐκ τῶν Ἀθηνῶν Ἐπικράτης ὁ Ἀχαρνεὺς ἀπέστειλεν: ὃν ἐπὶ τούτῳ Κίμων ὕστερον κρίνας ἐθανάτωσεν, ὡς ἱστορεῖ Στησίμβροτος (FGrH 107 F 3). Εἶτ' οὐκ οἶδ' ὅπως ἐπιλαθόμενος τούτων, ἢ τὸν Θεμιστοκλέα ποιῶν ἐπιλαθόμενον, πλεῦσαί φησιν εἰς Σικελίαν καὶ παρ' Ἱέρωνος αἰτεῖν τοῦ τυράννου τὴν θυγατέρα πρὸς γάμον, ὑπισχνούμενον αὐτῷ τοὺς Ἕλληνας ὑπηκόους ποιήσειν:<br>ἀποτριψαμένου δὲ τοῦ Ἱέρωνος, οὕτως εἰς τὴν Ἀσίαν ἀπᾶραι.<br><br>Fragmenta, ed. K. Müller, FHG | 124b | + | Charak-ter (Fami-lie) |

| | | | | | |
|---|---|---|---|---|---|
| | | 2. Paris: Didot, 1841-1870: 53-58. Frr. 1-18. fr. 12 verba Latina solum. 2t1-12/2 to 2t1-12/11<br>Ἐκεῖ δ’ αὐτῷ τὴν γυ ναῖκα καὶ τοὺς παῖδας ἐκκλέψας ἐκ τῶν Ἀθηνῶν Ἐπικράτης ὁ Ἀχαρνεὺς ἀπέστειλεν, ὃν ἐπὶ τούτῳ Κίμων ὕστερον κρίνας ἐθανάτωσεν, ὡς ἱστορεῖ Στησίμβροτος. Ἐκεῖ δ’ αὐτῷ τὴν γυ ναῖκα καὶ τοὺς παῖδας ἐκκλέψας ἐκ τῶν Ἀθηνῶν Ἐπικράτης ὁ Ἀχαρνεὺς ἀπέστειλεν, ὃν ἐπὶ τούτῳ Κίμων ὕστερον κρίνας ἐθανάτωσεν, ὡς ἱστορεῖ Στησίμβροτος. Εἶτ’ οὐκ οἶδ’ ὅπως ἐπιλαθόμενος τούτων ἢ τὸν Θεμιστοκλέα ποιῶν ἐπιλαθόμενον πλεῦσαί φησιν εἰς Σικελίαν καὶ παρ’ Ἱέρωνος αἰτεῖν τοῦ τυράννου τὴν θυγατέρα πρὸς γάμον, ὑπισχνούμενον αὐτῷ τοὺς Ἕλληνας ὑπηκόους ποιήσειν, ἀποστρεψαμένου δὲ τοῦ Ἱέρωνος οὕτως εἰς τὴν Ἀσίαν ἀπᾶραι. Εἶτ’ οὐκ οἶδ’ ὅπως ἐπιλαθόμενος τούτων ἢ τὸν Θεμιστοκλέα ποιῶν ἐπιλαθόμενον πλεῦσαί φησιν εἰς Σικελίαν καὶ παρ’ Ἱέρωνος αἰτεῖν τοῦ τυράννου τὴν θυγατέρα πρὸς γάμον, ὑπισχνούμενον αὐτῷ τοὺς Ἕλληνας ὑπηκόους ποιήσειν, ἀποστρεψαμένου δὲ τοῦ Ἱέρωνος οὕτως εἰς τὴν Ἀσίαν ἀπᾶραι. | | | |
| Stesimbrotos | | Plut. Th. 25.1.<br>Ταῦτα δ' οὐκ εἰκός ἐστιν οὕτω γενέσθαι.<br><br>Fragmenta, ed. K. Müller, FHG 2. Paris: Didot, 1841-1870: 53-58. Frr. 1-18. fr. 12 verba Latina solum. (Q: 1,564: Hist.) //2t1-12/11 to ///2t1-12/11<br>Ταῦτα δ' οὐκ εἰκός ἐστιν | 124c | - | Redewendung („aber dies ist eine unwahrscheinliche Version von Ereignissen“) |

| | | | | | |
|---|---|---|---|---|---|
| | | οὕτω γενέσθαι. | | | |
| Theophrast | Ende 4./Anfang 3. Jh. v. Chr. | Plut. Th.25.1.-25.2.<br>γὰρ ἐν τοῖς Περὶ βασιλείας ἱστορεῖ τὸν Θεμιστοκλέα, πέμψαντος εἰς Ὀλυμπίαν Ἱέρωνος ἵππους ἀγωνιστὰς καὶ σκηνήν τινα κατεσκευασμένην πολυτελῶς στήσαντος, εἰπεῖν ἐν τοῖς Ἕλλησι λόγον, ὡς χρὴ τὴν σκηνὴν διαρπάσαι τοῦ τυράννου καὶ κωλῦσαι τοὺς ἵππους ἀγωνίσασθαι.<br><br>Fragmenta, ed. F. Wimmer, Theophrasti Eresii opera, quae supersunt, omnia. Paris: Didot, 1866 1/126b/1t/1t to /1/126b/1t/6t<br>ἐν τοῖς περὶ βασιλείας ἱστορεῖ τὸν Θεμιστοκλέα πέμψαντος εἰς Ὀλυμπίαν Ἱέρωνος ἵππους ἀγωνιστὰς καὶ σκηνήν τινα κατεσκευασμένην πολυτελῶς στήσαντος εἰπεῖν ἐν τοῖς Ἕλλησι λόγον, ὡς χρὴ τὴν σκηνὴν διαρπάσαι τοῦ τυράννου καὶ κωλῦσαι τοὺς ἵππους ἀγωνίσασθαι. | 124b-124d | + | Finanzen |
| Theopomp | 4. Jh. v. Chr. | Plut. Th. 19.1.-19.2.<br>Γενόμενος δ’ ἀπὸ τῶν πράξεων ἐκείνων, εὐθὺς ἐπεχείρει τὴν πόλιν ἀνοικοδομεῖν καὶ τειχίζειν, ὡς μὲν ἱστορεῖ Θεόπομπος (FGrH 115 F 85) χρήμασι πείσας μὴ ἐναντιωθῆναι τοὺς ἐφόρους, ὡς δ’ οἱ πλεῖστοι, παρακρουσάμενος.<br><br>1.)Fragmenta, FGrH #115: 2B:536-617; 3B:742 addenda. Fr. 165: P. Oxy. 7.1012. fr. 305: Inscr. Priene 37. 2b,115,F/85*/2 to 2b,115,F/85*/4<br>Θεμιστοκλῆς) τὴν πόλιν ἀνοικοδομεῖν καὶ τειχίζειν, | 121c-121d | +<br><br>- | Politik (Bestechung) |

| | | | | | |
|---|---|---|---|---|---|
| | | ὡς μὲν ἱστορεῖ Θεόπομπος, χρήμασι πείσας μὴ ἐναντιωθῆναι τοὺς ἐφόρους, ὡς δ' οἱ πλεῖστοι, παρακρουσάμενος.<br>2.) Fragmenta, FGrH #115: 2B:536-617; 3B:742 addenda. Fr. 165: P. Oxy. 7.1012. fr. 305: Inscr. Priene<br>2b,115,F/85*/1 to //2b,115,F/85*/2<br>γενόμενος δὲ ἀπὸ τῶν πράξεων ἐκείνων εὐθὺς ἐπεχείρει (sc. | | | |
| Theopomp | | Plut. Th. 25.3. τῶν δὲ χρημάτων αὐτῷ πολλὰ μὲν ὑπεκκλαπέντα διὰ τῶν φίλων εἰς Ἀσίαν ἔπλει, τῶν δὲ φανερῶν γενομένων καὶ συναχθέντων εἰς τὸ δημόσιον Θεόπομπος (FGrH 115 F 86) μὲν ἑκατὸν τάλαντα, Θεόφραστος δ' ὀγδοήκοντά φησι γενέσθαι τὸ πλῆθος, οὐδὲ τριῶν ἄξια ταλάντων κεκτημένου τοῦ Θεμιστοκλέους πρὶν ἅπτεσθαι τῆς πολιτείας.<br><br>1.)Fragmenta, FGrH #115: 2B:536-617; 3B:742 addenda. Fr. 165: P. Oxy. 7.1012. fr. 305: Inscr. Priene<br>2b,115,F/86*/2 to 2b,115,F/86*/5<br>τῶν δὲ φανερῶν γενο μένων καὶ συναχθέντων εἰς τὸ δημόσιον Θεόπομπος μὲν ἑκατὸν τάλαντα, Θεόφραστος δὲ ὀγδοήκοντά φησι γενέσθαι τὸ πλῆθος, οὐδὲ τριῶν ἄξια ταλάντων κεκτημένου τοῦ Θεμιστοκλέους πρὶν ἅπτεσθαι τῆς πολιτείας.<br>2.) Fragmenta, FGrH #115: 2B:536-617; 3B:742 addenda. Fr. 165: P. Oxy. 7.1012. fr. 305: Inscr. Priene<br>/2b,115,F/86*/1 to | 124d | +<br><br>- | Finanzen |

| | | | | | |
|---|---|---|---|---|---|
| | | //2b,115,F/86*/2<br>Θεμιστοκλεῖ πολλὰ μὲν ὑπεκκλαπέντα διὰ τῶν φίλων εἰς Ἀσίαν ἔπλει: | | | |
| Theopomp | | Plut. Th. 31.3.<br>οὐ γὰρ πλανώμενος περὶ τὴν Ἀσίαν ὥς φησι Θεόπομπος (FGrH 115 F 87), ἀλλ' ἐν Μαγνησίᾳ μὲν οἰκῶν, καρπούμενος δὲ δωρεὰς μεγάλας καὶ τιμώμενος ὅμοια Περσῶν τοῖς ἀρίστοις, ἐπὶ πολὺν χρόνον ἀδεῶς διῆγεν, οὐ πάνυ τι τοῖς Ἑλληνικοῖς πράγμασι βασιλέως προσέχοντος ὑπ' ἀσχολιῶν περὶ τὰς ἄνω πράξεις.<br><br>Fragmenta, FGrH #115: 2B:536–617; 3B:742 addenda. Fr. 165: P. Oxy. 7.1012. fr. 305: Inscr. Priene 37. 2b,115,F/87*/1 to 2b,115,F/87*/5<br>οὐ γὰρ πλανώμενος περὶ τὴν Ἀσίαν, ὥς φησι Θεόπομπος, ἀλλ' ἐν Μαγνησίαι μὲν οἰκῶν, καρπούμενος δὲ δωρεὰς μεγάλας καὶ τιμώμενος ὅμοια Περσῶν τοῖς ἀρίστοις, ἐπὶ πολὺν χρόνον ἀδεῶς διῆγεν, οὐ πάνυ τι τοῖς Ἑλληνικοῖς πράγμασι βασιλέως προσέχοντος ὑπ' ἀσχολιῶν περὶ τὰς ἄνω πράξεις. | 127c | + | Charakter (Wohnsitz) |
| Timagoras | 5. Jh. v.Chr. | Plut. Th. 14.1.<br>Περὶ δὲ τοῦ πλήθους τῶν βαρβαρικῶν νεῶν Αἰσχύλος ὁ ποιητὴς ὡς ἂν εἰδὼς [καὶ] διαβεβαιούμενος ἐν [τραγῳδίᾳ] Πέρσαις (v. 336) λέγει ταῦτα:<br><br>Fragmenta, ed. K. Müller, FHG 4. Paris: Didot, 1841–1870: 520. Frr. 1–3. (Q: 142: Hist.) ///3t1–3/1 to ///3t1–3/2<br>Περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτὸς Εὐριπίδης ἐν | 119b | - | Redwendung (hinsichtlich der Nummer) |

| | | | | | |
|---|---|---|---|---|---|
| | | Κρεσφόντῃ φησί: ... | | | |
| Timokreon | 5.Jh. v. Chr. | Plut. Th. 21.4.-21.7.<br>ἀλλ’ εἰ τύ γα Παυσανίαν ἢ καὶ τύ γα Ξάνθιππον αἰνεῖς ἢ τύ γα Λευτυχίδαν, ἐγὼ δ’ Ἀριστείδαν ἐπαινέω ἄνδρ’ ἱερᾶν ἀπ’ Ἀθανᾶν ἐλθεῖν ἕνα λῷστον:<br>ἀργυρίου δ’ ὑπόπλεως, Ἰσθμοῖ γελοίως πανδόκευε ψυχρὰ κρέα παρέχων:<br>οἱ δ’ ἤσθιον κηὔχοντο μὴ ὥραν Θεμιστοκλέος γενέσθαι.<br>Μοῦσα τοῦδε τοῦ μέλεος κλέος ἀν’ Ἕλλανας τίθει, ὡς ἐοικὸς καὶ δίκαιον.<br><br>Fragmenta, ed. D.L. Page, Poetae melici Graeci. Oxford: Clarendon Press, 1962 (repr. 1967 (1st edn. Corr.)): 375-378. frr. 1-6. (Q: 169: Lyr.) 1/12 to 2/3<br>ἀλλ’ εἰ τύ γε Παυσανίαν ἢ καὶ τύ γε Ξάνθιππον αἰνεῖς, ἢ τύ γε Λευτυχίδαν, ἐγὼ δ’ Ἀριστείδαν ἐπαινέω ἄνδρ’ ἱερᾶν ἀπ’ Ἀθανᾶν ἐλθεῖν ἕνα λῶιστον, ἐπεὶ Θεμιστοκλῆν ἤχθαρε Λατώ, 4 ψεύσταν ἄδικον προδόταν, ὃς Τιμοκρέοντα ξεῖνον ἐόντα ἀργυρίοισι κοβαλικοῖσι πεισθεὶς οὐ κατᾶγεν πατρίδ’ Ἰαλυσὸν εἴσ<ω>, λαβὼν δὲ τρί’ ἀργυρίου τάλαντ’ ἔβα πλέων εἰς ὄλεθρον, 8 τοὺς μὲν κατάγων ἀδίκως, τοὺς δ’ ἐκδιώκων, τοὺς δὲ καίνων:<br>ἀργυρίων δ’ ὑπόπλεως Ἰσθμοῖ γελοίως πανδόκευε ψυχρὰ <τὰ> κρεῖα παρίσχων:<br>οἱ δ’ ἤσθιον κηὔχοντο μὴ ὥραν Θεμιστοκλέος γενέσθαι.<br>Μοῦσα τοῦδε τοῦ μέλεος κλέος ἀν’ Ἕλλανας τίθει, ὡς ἐοικὸς καὶ δίκαιον. | 122d-122f | + | Finanzen (Bestechung) |

## Zitate Plutarch

| | |
|---|---|
| Plutarch | 3.4.-3.5.<br>λέγεται γὰρ οὕτω παράφορος πρὸς δόξαν εἶναι καὶ πράξεων μεγάλων ὑπὸ φιλοτιμίας ἐραστής, ὥστε νέος ὢν ἔτι, τῆς ἐν Μαραθῶνι μάχης πρὸς τοὺς βαρβάρους γενομένης καὶ τῆς Μιλτιάδου στρατηγίας διαβοηθείσης, σύννους ὁρᾶσθαι τὰ πολλὰ πρὸς ἑαυτῷ καὶ τὰς νύκτας ἀγρυπνεῖν καὶ τοὺς πότους παραιτεῖσθαι τοὺς συνήθεις, καὶ λέγειν πρὸς τοὺς ἐρωτῶντας καὶ θαυμάζοντας τὴν περὶ τὸν βίον μεταβολήν, ὡς καθεύδειν αὐτὸν οὐκ ἐῴη τὸ Μιλτιάδου τρόπαιον.<br><br>Theseus, ed. K. Ziegler, Plutarchi vitae parallelae, vol. 1.1, 4th edn. Leipzig: Teubner, 1969: 1-35. 6t/9/1 to //6t/9/4<br>τότε δὲ παντά πασιν ἦν φανερὸς πεπονθὼς ὅπερ ὕστερον χρόνοις πολλοῖς Θεμιστοκλῆς ἔπαθε καὶ εἶπεν, ὡς καθεύδειν αὐτὸν οὐκ ἐῴη τὸ Μιλτιάδου τρόπαιον: |
| | 7.7.<br>ταῦτα μὲν οὖν Φανίας ὁ Λέσβιος (FHG II 294) εἴρηκεν.<br><br>1.)<br>Solon, ed. K. Ziegler, Plutarchi vitae parallelae, vol. 1.1, 4th edn. Leipzig: Teubner, 1969: 82-123. 4t/2/1 to //14t/3/1<br>καίτοι Φανίας ὁ Λέσβιος (FHG II 294) αὐτὸν ἱστορεῖ τὸν Σόλωνα, χρησάμενον ἀπάτῃ πρὸς ἀμφοτέρους ἐπὶ σωτηρίᾳ τῆς πόλεως, ὑποσχέσθαι κρύφα τοῖς μὲν ἀπόροις γῆς νέμησιν, τοῖς δὲ χρηματικοῖς βεβαίωσιν τῶν συμβολαίων.<br><br>2.) Themistocles, ed. K. Ziegler, Plutarchi vitae parallelae, vol. 1.1, 4th edn. Leipzig: Teubner, 1969: 157-197. 13t/5/1 to //13t/5/3<br>ταῦτα μὲν οὖν ἀνὴρ φιλόσοφος καὶ γραμμάτων οὐκ ἄπειρος ἱστορικῶν Φανίας ὁ Λέσβιος (FHG II 295) εἴρηκε. |
| | 8.5.<br>παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίας ἀπὸ χώρας παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει ναυμαχίᾳ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων, σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.<br><br>De Herodoti malignitate (854e-874c), ed. L. Pearson, Plutarch's moralia, vol. 11. Cambridge, Mass.: Harvard University Press, 1965 (repr. 1970): 8-128.<br>867t/5A/7t1 to //867t/5A/12t1<br>7t1 παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίας ἀπὸ χώρας παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει ναυμαχίᾳ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων, σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι. |
| | 8.2.<br>οὐ κακῶς ἔοικε συνιδὼν ἐπὶ τῆς ἐν Ἀρτεμισίῳ μάχης εἰπεῖν 3 ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν κρηπῖδ' ἐλευθερίας:<br><br>1.) De gloria Atheniensium (345c-351b), ed. W. Nachstädt, Plutarchi moralia, vol. 2.2. Leipzig: Teubner, 1935 (repr. 1971): 121-136. (Cod: 2,842: Rhet.) 350t/A/7t1 to //350t/A/11t1<br>'ἔρεισμα τῆς Ἑλλάδος' προσ εἶπε τὰς Ἀθήνας, οὐχ ὅτι ταῖς Φρυνίχου τραγῳδίαις καὶ Θέσπιδος ὤρθουν τοὺς Ἕλληνας, ἀλλ' ὅτι πρῶτον, ὥς φησιν αὐτός, ἐπ' Ἀρτεμισίῳ 'παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν κρηπῖδ' ἐλευθερίας:<br>2.) De Herodoti malignitate (854e-874c), ed. L. Pearson, Plutarch's moralia, vol. 11. |

| | |
|---|---|
| | Cambridge, Mass.: Harvard University Press, 1965 (repr. 1970): 8-128. (Cod: 9,433: Rhet.) 867t/2A/4t1 to //867t/2A/8t1<br>6t1 ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν κρηπῖδ' ἐλευθερίας. |
| | Plut. Them.10.6.-10.7.<br>μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ὀκτὼ δραχμὰς ἑκάστῳ τῶν στρατευομένων αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις, Κλείδημος (FGrH 323 F 21) δὲ καὶ τοῦτο τοῦ Θεμιστοκλέους ποιεῖται στρατήγημα<br><br>1.) Cicero, ed. K. Ziegler, Plutarchi vitae parallelae, vol. 1.2, 3rd edn. Leipzig: Teubner, 1964: 312-368. (Cod: 12,578: Biogr.) /24t/7/4 to //24t/8/1<br>Κρατίππῳ δὲ τῷ περιπατητικῷ διε πράξατο μὲν Ῥωμαίῳ γενέσθαι παρὰ Καίσαρος ἄρχοντος ἤδη, διεπράξατο δὲ <καὶ> τὴν ἐξ Ἀρείου πάγου βουλὴν ψηφίσασθαι [καὶ] δεηθῆναι μένειν αὐτὸν ἐν Ἀθήναις καὶ διαλέγεσθαι τοῖς νέοις, ὡς κοσμοῦντα τὴν πόλιν.<br><br>2.) Demosthenes, ed. K. Ziegler, Plutarchi vitae parallelae, vol. 1.2, 3rd edn. Leipzig: Teubner, 1964: 280-312. (Cod: 7,370: Biogr.) /26t/1/1 to //26t/2/1<br>Ὁ δὲ Δημοσθένης ὀμόσε χωρῶν εἰσήνεγκε ψήφισμα, τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐξετάσαι τὸ πρᾶγμα καὶ τοὺς ἐκείνῃ δόξαντας ἀδικεῖν δοῦναι δίκην.<br><br>3.) Praecepta gerendae reipublicae (798a-825f), ed. H.N. Fowler, Plutarch's moralia, vol. 10. Cambridge, Mass.: Harvard University Press, 1936 (repr. 1969): 158-298. (Cod: 12,890: Phil.) 812t/2A/14t1 to //812t/3A/5t1<br>ὡς Περικλῆς Μενίππῳ μὲν ἐχρῆτο πρὸς τὰς στρατηγίας, δι' Ἐφιάλτου δὲ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐταπείνωσε, διὰ δὲ Χαρίνου τὸ κατὰ Μεγαρέων ἐκύρωσε ψήφισμα, Λάμπωνα δὲ Θουρίων οἰκιστὴν ἐξέπεμψεν.<br><br>4.) Phocion, ed. K. Ziegler, Plutarchi vitae parallelae, vol. 2.1, 2nd edn. Leipzig: Teubner, 1964: 1-31. (Cod: 8,422: Biogr.) /16t/4/1 to //16t/5/1<br>" γενομένης δὲ τῆς ἥττης, καὶ τῶν θορυβοποιῶν καὶ νεωτεριστῶν ἐν ἄστει τὸν Χαρίδημον ἑλκόντων ἐπὶ τὸ βῆμα καὶ στρατηγεῖν ἀξιούντων, ἐφοβήθησαν οἱ βέλτιστοι, καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἔχοντες ἐν τῷ δήμῳ, δεόμενοι καὶ δακρύοντες μόλις ἔπεισαν ἐπιτρέψαι τῷ Φωκίωνι τὴν πόλιν.<br><br>5.) Cimon, ed. K. Ziegler, Plutarchi vitae parallelae, vol. 1.1, 4th edn. Leipzig: Teubner, 1969: 332-359. (Cod: 6,271: Biogr.) /10t/8/1 to //10t/9/1<br>οἱ δὲ ταῦτα κολακείαν ὄχλου καὶ δημαγωγίαν εἶναι διαβάλλοντες ὑπὸ τῆς ἄλλης ἐξηλέγχοντο τοῦ ἀνδρὸς προαιρέσεως, ἀριστοκρατικῆς καὶ Λακωνικῆς οὔσης, ὅς γε καὶ Θεμιστοκλεῖ πέρα τοῦ δέοντος ἐπαίροντι τὴν δημοκρατίαν ἀντέβαινε μετ' Ἀριστείδου, καὶ πρὸς Ἐφιάλτην ὕστερον χάριτι τοῦ δήμου καταλύοντα τὴν ἐξ Ἀρείου πάγου βουλὴν διηνέχθη, λημμάτων δὲ δημοσίων τοὺς ἄλλους πλὴν Ἀριστείδου καὶ Ἐφιάλτου πάντας ἀναπιμπλαμένους ὁρῶν, αὐτὸν ἀδέκαστον καὶ ἄθικτον ἐν τῇ πολιτείᾳ δωροδοκίας καὶ πάντα προῖκα καὶ καθαρῶς πράττοντα καὶ λέγοντα διὰ τέλους παρέσχε.<br><br>6.) Solon, ed. K. Ziegler, Plutarchi vitae parallelae, vol. 1.1, 4th edn. Leipzig: Teubner, 1969: 82-123. (Cod: 9,051: Biogr.) 22t/3/1 to //22t/4/1<br>Σόλων δὲ τοῖς πράγμασι τοὺς νόμους μᾶλλον ἢ τὰ πράγματα τοῖς νόμοις προσαρμόζων, καὶ τῆς χώρας τὴν φύσιν ὁρῶν γλίσχρως τοῖς γεωργοῦσι διαρκοῦσαν, ἀργὸν δὲ καὶ σχολαστὴν ὄχλον οὐ δυναμένην τρέφειν, ταῖς τέχναις ἀξίωμα περιέθηκε, καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἔταξεν ἐπισκοπεῖν ὅθεν ἕκαστος ἔχει τὰ ἐπιτήδεια, |

| | |
|---|---|
| | καὶ τοὺς ἀργοὺς κολάζειν.<br><br>7.) Demosthenes, ed. K. Ziegler, Plutarchi vitae parallelae, vol. 1.2, 3rd edn. Leipzig: Teubner, 1964: 280–312. (Cod: 7,370: Biogr.) 14t/5/2 to //14t/6/1<br>ὃν ὑπὸ τῆς ἐκκλησίας ἀφεθέντα συλλαβὼν ἐπὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἀνήγαγε, καὶ παρ' οὐδὲν τὸ προσκροῦσαι τῷ δήμῳ θέμενος, ἤλεγξεν ὑπεσχημένον Φιλίππῳ τὰ νεώρια ἐμπρήσειν, καὶ παραδοθεὶς ὁ ἄνθρωπος ὑπὸ τῆς βουλῆς ἀπέθανε.<br><br>8.) Solon, ed. K. Ziegler, Plutarchi vitae parallelae, vol. 1.1, 4th edn. Leipzig: Teubner, 1969: 82–123. (Cod: 9,051: Biogr.) 19t/5/1 to //19t/5/3<br>ταῦτα δὴ πάλιν ὡς πρὸ τῆς Σόλωνος ἀρχῆς καὶ νομοθεσίας τὴν ἐξ Ἀρείου πάγου βουλὴν οὖσαν ἐνδείκνυται |
| | Plut. Them 12.6.<br>τούτων δὲ πραττομένων Ἀριστεί δης ὁ Λυσιμάχου πρῶτος αἰσθόμενος ἧκεν ἐπὶ τὴν σκηνὴν τοῦ Θεμιστοκλέους, οὐκ ὢν φίλος, ἀλλὰ καὶ δι' ἐκεῖνον ἐξωστρακισμένος ὥσπερ εἴρηται:<br><br>1.) Aristides, ed. K. Ziegler, Plutarchi vitae parallelae, vol. 1.1, 4th edn. Leipzig: Teubner, 1969: 249–287. (Cod: 8,606: Biogr.)<br>/8t/2/1 to //8t/3/7<br>ὡς γὰρ ἀπολείπειν τὴν Σα λαμῖνα βουλευομένων τῶν περὶ Εὐρυβιάδην αἱ βαρβαρικαὶ τριήρεις νύκτωρ ἀναχθεῖσαι καὶ περιβαλοῦσαι τόν τε πόρον ἐν κύκλῳ καὶ τὰς νήσους κατεῖχον, οὐδενὸς προειδότος τὴν κύκλωσιν, ἧκεν ὁ Ἀριστείδης ἀπ' Αἰγίνης παραβόλως διὰ τῶν πολεμίων νεῶν διεκπλεύσας, καὶ νυκτὸς ἐλθὼν ἐπὶ τὴν σκηνὴν τοῦ Θεμιστοκλέους καὶ καλέσας αὐτὸν ἔξω μόνον, 'ἡμεῖς' εἶπεν 'ὦ Θεμιστόκλεις, εἰ σωφρονοῦμεν, ἤδη τὴν κενὴν καὶ μειρακιώδη στάσιν ἀφέντες ἀρξώμεθα σωτηρίου καὶ καλῆς φιλονικίας πρὸς ἀλλήλους, ἁμιλλώμενοι σῶσαι τὴν Ἑλλάδα, σὺ μὲν ἄρχων καὶ στρατηγῶν, ἐγὼ δ' ὑπουργῶν καὶ συμβουλεύων:<br>2.) Tiberius et Gaius Gracchus, ed. K. Ziegler, Plutarchi vitae parallelae, vol. 3.1, 2nd edn. Leipzig: Teubner, 1971: 416–458. (Cod: 9,550: Biogr.) /1t/3/1 to //1t/4/1<br>διὸ καὶ τὴν Σκιπίωνος τοῦ καταπολεμήσαν τος Ἀννίβαν θυγατέρα Κορνηλίαν, οὐκ ὢν φίλος, ἀλλὰ καὶ διάφορος τῷ ἀνδρὶ γεγονώς, λαβεῖν ἠξιώθη μετὰ τὴν ἐκείνου τελευτήν. |
| | Plut. Them. 18.9.<br>τῶν δὲ μνωμένων αὐτοῦ τὴν θυγατέρα τὸν ἐπιεικῆ τοῦ πλουσίου προκρίνας, ἔφη ζητεῖν ἄνδρα χρημάτων δεόμενον μᾶλλον ἢ χρήματα ἀνδρός.<br><br>Regum et imperatorum apophthegmata [Sp.?] (172b–208a), ed. W. Nachstädt, Plutarchi moralia, vol. 2.1. Leipzig: Teubner, 1935 (repr. 1971): 1–109. (Cod: 16,811: Gnom., Phil.) 185t/D/7 to //185t/D/9<br>Τῶν δὲ τὴν θυγατέρα μνωμένων αὐτοῦ τὸν ἐπιεικῆ τοῦ πλουσίου προτιμήσας ἄνδρα ἔφη ζητεῖν χρημάτων δεόμενον μᾶλλον ἢ χρήματα ἀνδρός. |
| | Plut. Them. 18.5.<br>'ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος ὢν ἐγενόμην ἔνδοξος, οὔτε σὺ Ἀθηναῖος.<br><br>Regum et imperatorum apophthegmata [Sp.?] (172b–208a), ed. W. Nachstädt, Plutarchi moralia, vol. 2.1. Leipzig: Teubner, 1935 (repr. 1971): 1–109. (Cod: 16,811: Gnom., Phil.)<br>/185t/2A/3 to //185t/2A/6<br>Τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν εἰπόντος, ὡς οὐ δι' αὐτὸν ἀλλὰ διὰ τὴν πόλιν ἔνδοξός ἐστιν, 'ἀληθῆ λέγεις' εἶπεν 'ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος ὢν ἐγενόμην ἔνδοξος οὔτε σὺ Ἀθηναῖος. |

| | |
|---|---|
| | Plut. Them. 18.5.<br>Τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν εἰπόντος ὡς οὐ δι' αὑτὸν ἔσχηκε δόξαν, ἀλλὰ διὰ τὴν πόλιν, 'ἀληθῆ λέγεις' εἶπεν:<br><br>Regum et imperatorum apophthegmata [Sp.?] (172b-208a), ed. W. Nachstädt, Plutarchi moralia, vol. 2.1. Leipzig: Teubner, 1935 (repr. 1971): 1-109. (Cod: 16,811: Gnom., Phil.) 185t/2A/3 to //185t/2A/6<br>Τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν εἰπόντος, ὡς οὐ δι' αὑτὸν ἀλλὰ διὰ τὴν πόλιν ἔνδοξός ἐστιν, 'ἀληθῆ λέγεις' εἶπεν 'ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος ὢν ἐγενόμην ἔνδοξος οὔτε σὺ Ἀθηναῖος. |
| | <br>Plut. Them.21.7.-22.2.<br>8 Ἤδη δὲ καὶ τῶν πολιτῶν διὰ τὸ φθονεῖν ἡδέως τὰς διαβολὰς προσιεμένων, ἠναγκάζετο λυπηρὸς εἶναι τῶν αὑτοῦ πράξεων πολλάκις ἐν τῷ δήμῳ μνημονεύων, καὶ πρὸς τοὺς δυσχεραίνοντας 'τί κοπιᾶτε' εἶπεν 'ὑπὸ τῶν αὐτῶν πολλάκις εὖ πάσχοντες;<br><br>Regum et imperatorum apophthegmata [Sp.?] (172b-208a), ed. W. Nachstädt, Plutarchi moralia, vol. 2.1. Leipzig: Teubner, 1935 (repr. 1971): 1-109. (Cod: 16,811: Gnom., Phil.) 185t/D/12 to //185t/1D/1<br>Τῶν δ' Ἀθηναίων αὐτὸν προπηλακιζόντων 'τί κοπιᾶτε' εἶπεν 'ὑπὸ τῶν αὐτῶν πολλάκις εὐχρηστούμενοι; |